αἰδοῦς, ἣν ἀγαθοῖς ἀνδράσι Κύρνε διδῷς. 410

---

1162a οὐδεὶς γὰρ πάντ' ἐστὶ πανόλβιος· ἀλλ' ὁ μὲν ἐσθλὸς < 441
b τολμᾶι ἔχων τὸ κακὸν κοὐκ ἐπίδηλον ὅμως, 442
c δειλὸς δ' οὔτ' ἀγαθοῖσιν ἐπίσταται οὔτε κακοῖσιν 443
d θυμὸν ὁμῶς μίσγειν. ἀθανάτων τε δόσεις 444
e παντοῖαι θνητοῖσιν ἐπέρχοντ'· ἀλλ' ἐπιτολμᾶν 445
f χρὴ δῶρ' ἀθανάτων οἷα διδοῦσιν ἔχειν. 446

---

1163 ὀφθαλμοὶ καὶ γλῶσσα καὶ οὔατα καὶ νόος ἀνδρῶν
ἐν μέσσωι στηθέων ἐν συνετοῖς φύεται.

---

1164a τοιοῦτός τοι ἀνὴρ ἔστω φίλος, ὃς τὸν ἑταῖρον = 97
b γινώσκων ὀργὴν καὶ βαρὺν ὄντα φέρει 98
c ἀντὶ κασιγνήτου. σὺ δέ μοι φίλε ταῦτ' ἐνὶ θυμῶι 99
d φράζεο, καί ποτέ μου μνήσεαι ἐξοπίσω. ⊗ 100

---

e οὔτιν' ὁμοῖον ἐμοὶ δύναμαι διζήμενος εὑρεῖν < 415
f πιστὸν ἑταῖρον, ὅτωι μή τις ἔνεστι δόλος· × 416
g ἐς βάσανόν τ' ἐλθὼν παρατριβόμενός τε μολύβδωι 417
h χρυσός, ὑπερτερίης ἄμμιν ἔνεστι λόγος. 418

---

1165 τοῖς ἀγαθοῖς σύμμισγε, κακοῖσι δὲ μήποθ' ὁμάρτει
ἔστ' ἂν ὁδοῦ τελέῃς τέρματ' ἀπ' ἐμπορίης.

---

τῶν ἀγαθῶν ἐσθλὴ μὲν ἀπόκρισις, ἐσθλὰ δὲ ἔργα·